τῶν δι' αὐτοῦ γενομένων· καὶ πῶς μονογενής, ὁ τοῖς πᾶσι
κατὰ κλῆσιν συναριθμούμενος· πῶς δὲ ἐξ οὐκ ὄντων
ἀλλ' ἢ τοῦ πατρὸς λέγοντος, ἐξηρεύξατο ἡ καρδία μου
λόγον ἀγαθόν· καὶ ἐκ γαστρὸς πρὸ ἑωσφόρου ἐγέν-
νησά σε. ἢ πῶς ἀνόμοιος τῇ οὐσίᾳ τοῦ πατρός, ὁ ὢν εἰκὼν
τελεία καὶ ἀπαύγασμα τοῦ πατρός· καὶ λέγων, ὁ ἐμὲ
ἑωρακὼς ἑώρακε τὸν πατέρα· πῶς δὲ ἡ λόγος καὶ
σοφία ἐστὶν ὁ υἱὸς τοῦ θεοῦ, ἦν ποτε ὅτε οὐκ ἦν· ἴσον
γάρ ἐστιν αὐτοῖς λέγειν ἄλογον καὶ ἄσοφόν ποτε τὸν θεόν·
πῶς δὲ τρεπτὸς καὶ ἀλλοιωτός, ὁ λέγων δι' ἑαυτοῦ,
ἐγὼ ἐν τῷ πατρί, καὶ ὁ πατὴρ ἐν ἐμοί· καὶ ἐγὼ καὶ ὁ
πατὴρ ἕν ἐσμεν· διὰ δὲ τοῦ προφήτου, ἴδετέ με, ὅτι
ἐγώ εἰμι καὶ οὐκ ἠλλοίωμαι· εἰ δὲ καὶ ἐπ' αὐτόν τις
τὸν πατέρα τὸ ῥητὸν δύναται ἀναφέρειν, ἀλλ' ἁρμοδιώ-
τερον ἂν εἴη περὶ τοῦ λόγου νῦν λεγόμενον· ὅτι καὶ
γενόμενος ἄνθρωπος οὐκ ἠλλοίωται· ἀλλ' ὡς ὁ ἀπό-
στολος, ἰησοῦς χριστὸς χθὲς καὶ σήμερον ὁ αὐτὸς καὶ εἰς τοὺς
αἰῶνας· τί δὲ ἄρα εἰπεῖν αὐτοὺς ἔπεισεν, ὅτι
δι' ἡμᾶς γέγονε· καίτοι τοῦ παύλου γράφοντος, δι'
ὃν τὰ πάντα καὶ δι' οὗ τὰ πάντα· περὶ μὲν γὰρ
τοῦ βλασφημεῖν αὐτοὺς ὅτι οὐκ οἶδεν ὁ υἱὸς τὸν
πατέρα, οὐ δεῖ θαυμάζειν· ἅπαξ γὰρ προθέμενοι
χριστομαχεῖν, παρακρούονται καὶ τὰς φωνὰς
αὐτοῦ τοῦ κυρίου λέγοντος· καθὼς γινώσκει με ὁ πατήρ,
κἀγὼ γινώσκω τὸν πατέρα· εἰ μὲν γὰρ ἐκ μέρους

http://digital.slub-dresden.de/ppn345504569/23